Λιμναῖα κρηνῶν τέκνα,
Ξύναυλον ὕμνων βοὰν
Φθεγξώμεθ', εὔγηρυν ἐμὰν ἀοιδάν,
Κοάξ, κοάξ.
Ἣν ἀμφὶ Νυσήϊον Διὸς
Διόνυσον ἐν Λίμναισιν ἰαχήσαμεν.
Ἡνίχ' ὁ κραιπαλόκωμος
Τοῖς ἱεροῖσι Χύτροισιν,
Χωρεῖ κατ' ἐμὸν τέμενος λαῶν ὄχλος.
Βρεκεκεκὲξ, κοάξ, κοάξ.

A *Aquæ paludosa stirps,*
*Laudum modos consonos*
*Dicamus hîc concentibus canoris,*
*Coax, coax.*
*Quis ante Nyseium Iouis*
*Dionysum, apud Limnas memorauimus:*
*Ebria cum populorum*
*Turba frequentibus ollis,*
B *Sacrum nemus in meum procederet.*
*Brekekekex, coax, coax.*

Σχόλια. Λιμναῖα κρηνῶν τέκνα.] λιμνῶν καὶ κρηνῶν ὀφείλων εἰπεῖν οὕτως εἶπεν Ἀττικῶς. ταῦτα δὲ καλεῖται παρηγορήματα. (Bisetvs. Γραπτέον παραχορηγήματα ὡς ἐκ τοῦ Πολυδεύκους δῆλον. καὶ γὰρ ἐν τῷ δ. βιβλίῳ κεφ. ιε. οὕτω λέγει, εἰ δὲ τέταρτος ὑποκριτής τι παραφθέγξαιτο, τοῦτο παραχορήγημα ἐκαλεῖτο.) ἐπεὶ οὐχ ὁρῶνται ἐν τῷ θεάτρῳ οἱ βάτραχοι οὐδὲ ὁ χορός. ἀλλ' ἔσωθεν μιμοῦνται τοὺς βατράχους. ὁ δὲ χορὸς, ἐκ τῶν εὐσεβῶν (Bisetvs. τῶν μυστῶν.) ἐλλείπει δὲ ὁ καὶ ἵν' ᾖ λιμνῶν καὶ κρηνῶν τέκνα. καὶ γὰρ ἐν κρήναις γίνονται καὶ εὑρίσκονται βάτραχοι. Ἐμὰν ἀοιδάν. τὸ ἡμέτερον μέλος. ἣ ὃν εἰώθαμεν ὕμνον ἡμεῖς προφέρειν. Διὸς Διόνυσον ἐν λίμναις.] λείπει παῖδα. ἀπὸ τῶν ἑαυτῶν δὲ λιμνῶν μεταφέρουσιν ἐπὶ τὸν ἐν Λίμναις Διόνυσον λεγόμενον. Λίμναι δὲ χωρίον τῆς Ἀττικῆς, ἐν ᾧ Διονύσου ἱερόν. Καλλίμαχος. Λιμναίῳ δὲ χοροστάδας ἦγον ἑορτάς. Νύσιος δὲ ὁ Διόνυσος τοῖς Ἰνδοῖς ὀνομάζεται. ἀπὸ τῆς ἐν Ἰνδοῖς νύσης. οὐ μόνον δὲ Ἰνδοῖς ἀλλὰ καὶ πᾶσι τοῖς πρὸς ἀκτῖνα ἔθνεσιν. ὡς φησὶ Φιλόστρατος ἐν τῷ Ἀπολλωνίου τοῦ Τυανέως βίῳ. κραιπαλόκωμος δὲ, κατὰ μετωνυμίαν ὁ κατὰ μέθην γινόμενος ὕμνος.

Bisetvs. Κραιπαλόκωμος] ἀλλ' ἐνταῦθα κραιπαλόκωμος ἐπιθετικῶς ληπτέον, καὶ πρὸς τὸ ὄχλος συναπτέον. ὄχλος δὲ κραιπαλόκωμος, ὁ οἴνου, κραιπάλης, καὶ κώμου ἐμπλήρης, ὁ μετὰ τὴν μέθην κωμάζων ὄχλος.

Σχόλια. Τοῖς ἱεροῖσι Χύτροισι.] Χύτροι ἑορτὴ παρ' Ἀθηναίοις γινομένη τῷ Διονύσῳ. ἄγεται δὲ παρὰ ταύτην τὴν αἰτίαν, ἣν καὶ Θεόπομπος ἐκτίθεται γράφων C οὕτω. διασωθέντας οὖν τοὺς ἀνθρώπους ᾗ περ ἐθάρρησαν ἡμέρᾳ, τῷ ταύτης ὀνόματι προσαγορεῦσαι καὶ τὴν ἑορτὴν ἅπασαν. ἔπειτα θύειν αὐτοῖς ἔθος τῶν μὲν Ὀλυμπίων θεῶν, οὐδενὶ τὸ παράπαν. Ἑρμῇ δὲ χθονίῳ. καὶ τὰς χύτρας ἣν ἕψουσι πάντες κατὰ τὴν πόλιν, οὐδεὶς γεύεται τῶν ἱερέων. τοῦτο δὲ ποιοῦσι τῇ ἡμέρᾳ. καὶ τοὺς τότε παραγενομένους ὑπὲρ τῶν θανόντων ἱλάσασθαι τὸν Ἑρμῆν. ἤγοντο δὲ ἀγῶνες αὐτόθι, οἱ Χύτρινοι καλούμενοι, καθά φησι Φιλόχορος ἐν τῇ ἕκτῃ τῶν Ἀτθίδων. Ἐμὸν τέμενος.] λέγουσι τὸ ἐν λίμναις τοῦ Διονύσου ἱερόν πρὸς δὲ τὴν D ὁμωνυμίαν, ὅτι ἐν Λίμναις εἰσὶν οἱ βάτραχοι. Λίμναι δὲ καὶ τὸ ἱερόν. ἐφεξῆς δὲ σύστημα καὶ περίοδος ἀμοιβαία ἑπτάκωλος ἰαμβικῶν διμέτρων ἀκαταλήκτων, πλὴν τοῦ κώλου ὃ κέχρηται ὡς ἐφυμνίῳ ὁμοίου τῷ πρώτῳ τοῦ μέλους αὐτῶν. ἐπὶ τῷ τέλει παράγραφος.

Bisetvs. Σύστημα κώλων ἰαμβικῶν διμέτρων ἀκαταλήκτων ζ.

E

Δι. Ἐγὼ δὲ ἀλγεῖν ἄρχομαι
Τὸν ὄρρον, ὦ κοὰξ, κοάξ.
Χο. Βρεκεκεκὲξ, κοάξ, κοάξ.
Δι. Ὑμῖν δ' ἴσως οὐδὲν μέλει.
Χο. Βρεκεκεκὲξ, κοάξ, κοάξ.
Δι. Ἀλλ' ἐξόλοισθ' αὐτῷ κοάξ.
Οὐδὲν γάρ ἐστ' ἀλλ', ἢ κοάξ.

Ba. *At podicem meum dolor*
*Nunc occupat, coax, coax.*
Ch. *Brekekekex, coax, coax.*
Ba. *Sed vos nihil fortè afficit.*
Ch. *Brekekekex, coax, coax.*
Ba. *At occidatis cum hoc coax.*
*Nil est enim, præter coax.*

Σχόλια. Ἐγὼ δὲ ἀλγεῖν ἄρχομαι.] ὁ Διόνυσος λέγει δεινοπαθῶν ἐπὶ τῷ κωπηλατεῖν. ὄρρον δὲ, τὸν καλούμενον ταῦρον. μέρος δέ ἐστι τῆς πυγῆς. Ἡρωδιανὸς δὲ καὶ τῷ λόγῳ καὶ κατὰ τὴν διάλεκτον βαρέως. Ὦ κοὰξ, κοάξ.] διὰ τὸ συνεχὲς αὐτῶν ἐπίφθεγμα, παίζων λέγει. ὄρρον δὲ, τὸν λεγόμενον ταῦ- F ρον, τὸ μεταξὺ τῶν διδύμων. Καλλίστρατος, τὴν ὀσφύν. καὶ τὸ ἱερὸν ὀστοῦν. Δίδυμος τὴν τράμιν. οὐχ ὡς τινες τὸ ἰσχύον. ἔνθεν καὶ τὸ ὀρρωδεῖν, τὸν ὄρρον ἱδροῦν. Ὅμηρος. ἴδιον ὡς ἐναντία. τοῦτο γὰρ πάσχουσιν οἱ φοβούμενοι. Ἀλλ' ἐξόλοισθ' αὐτῷ κοάξ.] σὺν αὐτῷ τῷ κοάξ. Ὅμηρος, αὐτοῖς ἵπποισι καὶ ἀνδράσιν.

Bisetvs. Εἴσθεσις μέλους ἑτέρου μονοστροφικοῦ ἐκ κώλων διαφόρων ὀκτώ.

G

Χο. Εἰκότως ἔγωγ', ὦ πολλὰ πράττων.
Ἐμὲ γὰρ ἔστερξαν εὔλυροί τε μοῦσαι,

Ch. *Atqui non immeritò ô curiose,*
*Quia me amârunt & aureæ Camœnæ, &*

Σχ. Εἰκότως.] εἴσθεσις μέλους ἑτέρου μονοστροφικοῦ ἐκ κώλων διαφόρων ὀκτώ. ὧν τὸ α' τροχαϊκὸν τρίμετρον βραχυ-